*Μεν.* Πολλῶν ⟨μὲν⟩ ὁ λόγος χρηστός, ὁ δὲ τρόπος κακός.
οὐ τῷ λόγῳ δὲ δεῖ †χρῆσθαι, ἀλλὰ τῷ τρόπῳ.
*Φιλ.* Πενία δ' ἄτιμον καὶ τὸν εὐγενῆ ποιεῖ.
τῷ δυστυχοῦντι θάνατος αἱρετώτερος.
*Μεν.* Δοκίμαζε πρῶτον τὸν τρόπον κοὐ τὸν λόγον.
σεμνὸς τρόπος γὰρ διαφέρει καλῶν λόγων.
*Φιλ.* Εἰ χρήμασι⟨ν⟩ τὸν θάνατον ἐξωνούμεθα,
τῶν πλουσίων ⟨ἂν⟩ ὁ κόσμος ὅλος ἐτύγχανε.
*Μεν.* Ἅπασιν ἀνθρώποισ⟨ιν⟩ ἀπόκειται θανεῖν,
ζωῆς γὰρ ἡμῖν ὀλίγος ἐμετρήθη χρόνος.
*Φιλ.* Μηδεὶς ἑαυτὸν μακάριον νομιζέτω,
πρὶν ἢ μάθῃ τὸ τέρμα τῆς εἱμαρμένης.
*Μεν.* Ψευδηγόροις γελῶσι καὶ μύθοις κενοῖς,
†θεραπεύεται τὰ κακὰ ταῖς συμβουλίαις.†
*Φιλ.* Τί τῷ θανόντι δῶρα λαμπρὰ προσφέρεις
ἃ μεθ' ἡδονῆς ἀφῆκε κοὐκ ἐχρήσατο.
*Μεν.* Τί τὸν θανόντα κωφὸν ὠφελεῖς καλῶν;
τὸν ζῶντα λυπεῖς, τῷ θανόντι δ' οὐ μέλει.
*Φιλ.* Ὁ τάφος στεφανωθεὶς πλουσίως καὶ κοσμίως
†τὸ ζῆν ἑαυτοῦ διὰ πλάνης κατηγορεῖ.†
*Μεν.* Ἐν ἀδειλίᾳ γὰρ ζῶντες ὃν ζῶμεν χρόνον
φρόνιμοι δοκοῦμεν μηδὲ ἓν †καθιόντες.